*Blepyrus goes off to celebrate, and the Chorus commend their play to the judges*

| | |
|---|---|
| Βλέπυρος | οὔκουν ἅπασι δῆτα γενναίως ἐρεῖς<br>καλεῖς γέροντα μειράκιον παιδίσκον; ὡς<br>τὸ δεῖπνον αὐτοῖς ἐστ᾽ ἐπεσκευασμένον<br>ἁπαξάπασιν, ἢν ἀπίωσιν οἴκαδε.<br>ἐγὼ δὲ πρὸς τὸ δεῖπνον ἤδη ᾽πείξομαι·<br>ἔχω δέ τοι καὶ δᾷδα ταυτηνὶ καλῶς. |
| Χορός | τί δῆτα διατρίβεις ἔχων, ἀλλ᾽ οὐκ ἄγεις<br>τασδὶ λαβών; ἐν ὅσῳ δὲ καταβαίνεις, ἐγὼ<br>ἐπᾴσομαι μέλος τι μελλοδειπνικόν.<br>σμικρὸν δ᾽ ὑποθέσθαι τοῖς κριταῖσι βούλομαι.<br>τοῖς σοφοῖς μὲν τῶν σοφῶν μεμνημένοις κρίνειν ἐμέ,<br>τοῖς γελῶσι δ᾽ ἡδέως διὰ τὸν γέλων κρίνειν ἐμέ·<br>σχεδὸν ἅπαντας οὖν κελεύω δηλαδὴ κρίνειν ἐμέ,<br>μηδὲ τὸν κλῆρον γενέσθαι μηδὲν ἡμῖν αἴτιον,<br>ὅτι προείληχ᾽· ἀλλὰ πάντα ταῦτα χρὴ μεμνημένους<br>μὴ ᾽πιορκεῖν ἀλλὰ κρίνειν τοὺς χοροὺς ὀρθῶς ἀεί,<br>μηδὲ ταῖς κακαῖς ἑταίραις τὸν τρόπον προσεικέναι,<br>αἳ μόνον μνήμην ἔχουσι τῶν τελευταίων ἀεί. |

Aristophanes Ecclesiazusae 1144-1162
1B 1 2001

προλαγχάνω - be allotted first performance